		2.	τί-θε-σθε	ἐ-τί-θε-σθε	τί-θε-σθε
		3.	τί-θε-νται	ἐ-τί-θε-ντο	τι-θέ-σθων

2 AORIST.	S.	1.	ἐ-θέ-μην		
(only Middle.)		2.	ἔ-θου		θοῦ
Stem θε.		3.	ἔ-θε-το		θέ-σθω
			etc., as in ἐτιθέμην		etc., as in τίθεσο

---

* Rarely ἐτίθης, ἐτίθη.

(Stem θε).

VOICE.

SUBJUNCTIVE.	OPTATIVE.	INFINITIVE.	PARTICIPLE.
τι-θῶ	τι-θείην	τι-θέ-ναι	M. τι-θεί-s
τι-θῇ-s	τι-θείης		F. τι-θεῖ-σα
τι-θῇ	τι-θείη		N. τι-θέ-ν
τι-θῆ-τον	τι-θεῖτον		
τι-θῆ-τον	τι-θείτην		Stem τιθεντ,
τι-θῶ-μεν	τι-θεῖμεν		decl. like λυθείς
τι-θῆ-τε	τι-θεῖτε		p. 69
τι-θῶ-σι(ν)	τι-θεῖεν		

θῶ	θείην	θεῖ-ναι	M. θεί-s
θῇ-s	θείης		F. θεῖ-σα
θῇ	θείη		N. θέ-ν
θῆ-τον	θεῖτον		
θῆ-τον	θείτην		Stem θεντ,
θῶ-μεν	θείμεν		decl. like λυθείς,
θῆ-τε	θεῖτε		p. 69
θῶ-σι(ν)	θεῖεν		

VOICES.

τι-θῶ-μαι	τι-θεί-μην	τί-θε-σθαι	M. τι-θέ-μενος
τι-θῇ	τι-θεῖ-ο		F. τι-θε-μένη
τι-θῆ-ται	τι-θεῖ-το		N. τι-θέ-μενον
τι-θῆ-σθον	τι-θεῖ-σθον		
τι-θῆ-σθον	τι-θεί-σθην		Stem τιθεμενο
τι-θώ-μεθα	τι-θεί-μεθα		
τι-θῆ-σθε	τι-θεῖ-σθε		
τι-θῶ-νται	τι-θεῖ-ντο		

θῶ-μαι	θεί-μην	θέ-σθαι	M. θέ-μενος
θῇ	θεῖ-ο		F. θε-μένη
θῆ-ται	θεῖ-το		N. θέ-μενον
etc., as in τιθῶμαι	etc., as in τιθείμην		
			Stem θεμενο

δί-δω-μι, *I give*

ACTIVE

TENSE.	Number.	Person.	INDICATIVE.		IMPERATIVE.
			Present.	*Imperfect.*	
PRESENT	S.	1.	δί-δω-μι	ἐ-δί-δουν	
AND IM-		2.	δί-δω-ς	ἐ-δί-δους	δί-δου
PERFECT.		3.	δί-δω-σι(ν)	ἐ-δί-δου	δι-δό-τω
	D.	2.	δί-δο-τον	ἐ-δί-δο-τον	δί-δο-τον
Stem		3.	δί-δο-τον	ἐ-δι-δό-την	δι-δό-των
δι δο.	P.	1.	δί-δο-μεν	ἐ-δί-δο-μεν	
		2.	δί-δο-τε	ἐ-δί-δο-τε	δί-δο-τε
		3.	δι-δό-ᾱσι(ν)	ἐ-δί-δο-σαν	δι-δό-ντων

			2 *Aor.*	1 *Aor.*	
2 AORIST.	S.	1.	Wanting.	ἔ-δω-κα	
		2.		ἔ-δω-κας	δό-ς
Stem δο.		3.		ἔ-δω-κε(ν)	δό-τω
	D.	2.	ἔ-δο-τον		δό-τον
		3.	ἐ-δό-την		δό-των
	P.	1.	ἔ-δο-μεν		
		2.	ἔ-δο-τε		δό-τε
		3.	ἔ-δο-σαν		δό-ντων

PASSIVE AND MIDDLE

			Present.	*Imperfect.*	
PRESENT	S.	1.	δί-δο-μαι	ἐ-δι-δό-μην	
AND IM-		2.	δί-δο-σαι	ἐ-δί-δο-σο	δί-δο-σο
PERFECT.		3.	δί-δο-ται	ἐ-δί-δο-το	δι-δό-σθω
	D.	2.	δί-δο-σθον	ἐ-δι-δό-σθον	δί-δο-σθον
Stem		3.	δί-δο-σθον	ἐ-δι-δό-σθην	δι-δό-σθων
δι δο.	P.	1.	δι-δό-μεθα	ἐ-δι-δό-μεθα	
		2.	δί-δο-σθε	ἐ-δί-δο-σθε	δί-δο-σθε
		3.	δί-δο-νται	ἐ-δί-δο-ντο	δι-δό-σθων

2 AORIST.	S.	1.	ἐ-δό-μην		
(only Middle.)		2.	ἔ-δου		δοῦ
Stem δο.		3.	ἔ-δο-το		δό-σθω
			etc., as in ἐδιδόμην		etc., as in δίδοσο

(Stem δο).

VOICE.

SUBJUNCTIVE.	OPTATIVE.	INFINITIVE.	PARTICIPLE.
δι-δῶ	δι-δοίην	δι-δό-ναι	M. δι-δού-s
δι-δῷ-s	δι-δοίηs		F. δι-δοῦ-σα
δι-δῷ	δι-δοίη		N. δι-δό-ν
δι-δῶ-τον	δι-δοῖτον		
δι-δῶ-τον	δι-δοίτην		Stem διδοντ,
δι-δῶ-μεν	δι-δοῖμεν		decl. in oblique cases
δι-δῶ-τε	δι-δοῖτε		like ἑκών
δι-δῶ-σι(ν)	δι-δοῖεν		

δῶ	δοίην	δοῦ-ναι	M. δού-s
δῷ-s	δοίηs		F. δοῦ-σα
δῷ	δοίη		N. δό-ν
δῶ-τον	δοῖτον		
δῶ-τον	δοίτην		Stem δοντ,
δῶ-μεν	δοῖμεν		decl. in oblique cases
δῶ-τε	δοῖτε		like ἑκών
δῶ-σι(ν)	δοῖεν		

VOICES.

δι-δῶ-μαι	δι-δοί-μην	δί-δο-σθαι	M. δι-δό-μενοs
δι-δῷ	δι-δοῖ-ο		F. δι-δο-μένη
δι-δῶ-ται	δι-δοῖ-το		N. δι-δό-μενον
δι-δῶ-σθον	δι-δοῖ-σθον		
δι-δῶ-σθον	δι-δοί-σθην		Stem διδομενο
δι-δώ-μεθα	δι-δοί-μεθα		
δι-δά-σθε	δι-δοῖ-σθε		
δι-δῶ-νται	δι-δοῖ-ντο		

δῶ-μαι	δοί-μην	δό-σθαι	M. δό-μενοs
δῷ	δοῖ-ο		F. δο-μένη
δῶ-ται	δοῖ-το		N. δό-μενον
etc., as in διδῶμαι	etc., as in διδοίμην		
			Stem δομενο

δείκ-νυ-μι, I show (Stem δεικ).

ACTIVE VOICE

Tense	Number	Person	INDICATIVE Present	INDICATIVE Imperfect	IMPERATIVE	SUBJUNCTIVE	OPTATIVE
PRESENT AND IMPERFECT. Stem δεικνυ.	S.	1.	δείκ-νῡ-μι	ἐ-δείκ-νῡ-ν		δεικ-νύ-ω	δεικ-νύ-οιμι
		2.	δείκ-νῡ-s	ἐ-δείκ-νῡ-s	δείκ-νῡ	δεικ-νύ-ῃς	δεικ-νύ-οις
		3.	δείκ-νυ-σι(ν)	ἐ-δείκ-νῡ	δεικ-νύ-τω	δεικ-νύ-ῃ	δεικ-νύ-οι
	D.	2.	δείκ-νυ-τον	ἐ-δεικ-νύ-τον	δείκ-νύ-τον	δεικ-νύ-ητον	δεικ-νύ-οιτον
		3.	δείκ-νυ-τον	ἐ-δεικ-νύ-την	δεικ-νύ-των	δεικ-νύ-ητον	δεικ-νυ-οίτην
	P.	1.	δείκ-νυ-μεν	ἐ-δείκ-νυ-μεν		δεικ-νύ-ωμεν	δεικ-νύ-οιμεν
		2.	δείκ-νυ-τε	ἐ-δείκ-νύ-τε	δείκ-νύ-τε	δεικ-νύ-ητε	δεικ-νύ-οιτε
		3.	δεικ-νύ-ᾱσι(ν)	ἐ-δείκ-νύ-σαν	δεικ-νύ-ντων	δεικ-νύ-ωσι(ν)	δεικ-νύ-οιεν

Infinitive δεικνύ-ναι.

Participle δεικ-νύ-ς, -νῦ-σα, -νύ-ν.   Stem δεικνυντ,
dat. pl. δεικνῦσι(ν), δεικνύσαις, δεικνῦσι(ν)   dat. pl. δεικνῦσι(ν)

PASSIVE AND MIDDLE VOICES.

Tense	Number	Person	INDICATIVE Present	INDICATIVE Imperfect	IMPERATIVE	SUBJUNCTIVE	OPTATIVE
PRESENT AND IMPERFECT. Stem δεικνυ.	S.	1.	δείκ-νυ-μαι	ἐ-δεικ-νύ-μην		δεικ-νύ-ωμαι	δεικ-νυ-οίμην
		2.	δείκ-νυ-σαι	ἐ-δείκ-νύ-σο	δείκ-νυ-σο	δεικ-νύ-ῃ	δεικ-νύ-οιο
		3.	δείκ-νυ-ται	ἐ-δείκ-νυ-το	δεικ-νύ-σθω	δεικ-νύ-ηται	δεικ-νύ-οιτο
	D.	2.	δείκ-νυ-σθον	ἐ-δείκ-νυ-σθον	δείκ-νυ-σθον	δεικ-νύ-ησθον	δεικ-νυ-οῖσθον
		3.	δείκ-νυ-σθον	ἐ-δεικ-νύ-σθην	δεικ-νύ-σθων	δεικ-νύ-ησθον	δεικ-νυ-οίσθην
	P.	1.	δεικ-νύ-μεθα	ἐ-δεικ-νύ-μεθα		δεικ-νυ-ώμεθα	δεικ-νυ-οίμεθα
		2.	δείκ-νυ-σθε	ἐ-δείκ-νυ-σθε	δείκ-νυ-σθε	δεικ-νύ-ησθε	δεικ-νύ-οισθε
		3.	δείκ-νυ-νται	ἐ-δείκ-νυ-ντο	δεικ-νύ-σθων	δεικ-νύ-ωνται	δεικ-νύ-οιντο

Infinitive δείκ-νυ-σθαι.   Participle δεικ-νύ-μενος, -η, -ον.

XXVIII.—EXERCISES ON VERBS IN μι.

FIRST CLASS: ἵστημι, τίθημι, δίδωμι, ἵημι.

1. ἵστημι.

The stem of ἵστημι is στα. ἵστημι stands for σι-στη-μι, the σ of the stem having been reduplicated with ι, and the rough breathing having then replaced the initial σ. The rough breathing is also found in the Imperf. ἵστην, and the Perf. ἕστηκα (for σε-στη-κα).

But in the tenses formed from the stem στα without reduplication there is no rough breathing:

Fut.	1 Aor.	2 Aor.
στή-σω	ἔ-στη-σα	ἔ-στη-ν

Similarly in the compounds, e.g. ἀφίστημι:

Pres.	Imperf.	Perf.
ἀφ-ίστημι	ἀφ-ίστην	ἀφ-έστηκα

But—

Fut.	1 Aor.	2 Aor.
ἀπο-στή-σω	ἀπ-έ-στη-σα	ἀπ-έ-στη-ν

Meaning.

ἵστημι in the active voice has a transitive meaning in the Pres., Imperf., Fut., and 1 Aor., *I set up, was setting up, will set up, set up*. The 2 Aor. is intransitive, *I stood;* the Perf. (with a present meaning) is also intransitive, *I stand,* Pluperf. *I stood.*[*]

N.B.—It is easy to remember the transitive tenses: they are the *first four tenses* (of ἵστημι or any other verb).

Active Voice of ἵστημι.

EXERCISE LVII.

A.—1. ὁ συγγραφεὺς λέγει πολλοὺς συμμάχους ἀπὸ τῶν Ἀθηναίων ἀποστῆναι. 2. οἱ Ἕλληνες νικήσαντες τρόπαια ἵστασαν. 3. ἡ πενία τοὺς ἀνθρώπους πρὸς τὰς τέχνας δεξιωτέρους καθίστησιν. 4. οἱ ῥήτορες τὸν ὑμέτερον δῆμον ἀφ' ἡμῶν ἀπέστησαν. 5. παραστῆτέ μοι, ὦ φίλοι, κακῶς πράττοντι. 6. πολλὰς ναῦς ἀποστείλαντες, τοὺς πολεμίους εἰς φόβον κατεστήσαμεν. 7. μετὰ τοῦτον ἄλλος ἀνέστη καὶ ἔλεξε τοιάδε. 8. ὁ βασιλεὺς τοῖς ἀποστᾶσιν ἀπ' αὐτοῦ ἐπολέμησεν. 9. ἆρ' οὐ χρὴ ἡμᾶς τοῖς ἀτυχέσι παραστῆναι; 10. τὸ Μιλτιάδου τρόπαιον Θεμιστοκλέα ἐξ ὕπνου ἀνίστη.

---

[*] When the Perfect of a verb is used with a present meaning, the Pluperfect has the meaning of a simple past.

1. The tyrant was afraid lest the citizens might revolt.   2. The treaty having been broken, the whole city was reduced to the greatest danger.   3. The king ordered those who-had-stood-up to be silent.   4. We will set guards before the gates, that we may not be besieged.   5. We confess that we made your allies revolt.   6. It is fitting that they should set up a statue of the poet.   7. Would that he might stand by us!   8. Having set up a trophy, they departed.   9. Those who-revolted are said to have been conquered.   10. Let not the king establish his own son in (εἰς) command.

Perfect and Pluperfect.

ἕστηκα, -ας, -ε, are the only forms in common use of the Perf. in -κα.   For the remainder of the tense the following forms, as though from a contracted Perf., are employed.

Indic. ἕστατον, ἕστατον, ἕσταμεν, ἕστατε, ἑστᾶσι(ν).
Imperat. ἕσταθι, ἑστάτω.   Pluperf. εἱστήκη, -ης, -ει(ν)
Subj. ἑστῶ, ἑστῶμεν, ἑστῶσι(ν).   or ἑστήκη, -ης, -ει(ν),
Infin. ἑστάναι.   ἕστατον, ἑστάτην,
Part. ἑστώς, ἑστῶσα, ἑστώς or -ός.   ἕσταμεν, ἕστατε, ἕστασαν.
Gen. ἑστῶτος, ἑστώσης, etc.

61. In the Indirect Statement, after the Historic tenses of verbs of hoping and promising, instead of a Future Infinitive, ἄν (giving the meaning of 'would') is often used with an Aorist Infinitive, as ἤλπιζον αὐτὸν ἂν νικῆσαι, I hoped that he would conquer.

B.—1. πάσης προνοίας ἡ τύχη δυνατωτέρα καθέστηκεν. 2. εἷς τῶν φιλοσόφων ἐνόμιζε πάντα ἐκ πυρὸς συνεστάναι. 3. ἐπηγγέλλετο αὐτὸς ἂν τὸ πρᾶγμα δηλῶσαι. 4. τοὺς πολίτας δεῖ τοῖς καθεστῶσι νόμοις πείθεσθαι. 5. πᾶσαι αἱ πόλεις ἑκοῦσαι πρὸς Κῦρον ἀφέστασαν. 6. πολὺν χρόνον ἑστήκη, τὸν ἀγῶνα θεώμενος.

1. There are three things of which every state is composed. 2. I hoped that you would prosper. 3. He exhorted the bystanders to come-to-the-aid-of the old man. 4. The subjects, having been neglected by the rulers, have revolted. 5. War being established, the husbandmen did not sow the corn. 6. The philosopher was reduced to great difficulty by those questioning him.

Middle and Passive Voices of ἵστημι.

ἵστημι in the middle voice has generally the intransitive meaning which it has in the 2 Aor. and Perf. Act., as ἵσταμαι, I stand, ἀφίσταμαι, I revolt.   But the 1 Aor. Mid. is always transitive, ἐστησάμην, I set (for myself).

62. An Infinitive depending on a verb of hoping or promising is usually negatived by μή, as ἐπαγγελλόμεθα μὴ τὰς σπονδὰς λύσειν, *we promise that we will not break the treaty.*

EXERCISE LVIII.

1. Μίνως πρῶτος Ἑλλήνων ναυτικὴν δύναμιν ἀξιόλογον συνεστήσατο.　2. μετὰ τὸν πόλεμον τριάκοντα τύραννοι ἐν Ἀθήναις κατεστάθησαν.　3. πολλοὶ ἀνίστανται λέξοντες ἃ ἐν νῷ ἔχουσιν.　4. ἐπηγγείλαντο μὴ ἂν ἡμᾶς ἀπατῆσαι.　5. ὑμῶν μὴ κωλυόντων, ὅτι τάχιστα ἀποστησόμεθα.　6. τοῖς ὑπὲρ τῆς πατρίδος μαχομένοις παρισταῖντο οἱ θεοί.　7. οἱ ὁπλῖται ἐν τάξει στάντων, τὰ ὅπλα παρεσκευασμένα ἔχοντες.　8. τοῦ φιλοσόφου διαλεγομένου, οἱ νεανίαι περιίσταντο.　9. ἐλπίζει τοὺς συμμάχους ἀφ᾽ ἡμῶν ἀποστήσειν.　10. λέγεται τοὺς Ἀθηναίους ἐμπόριον καταστήσασθαι τὸν Πειραιᾶ.

1. He was standing up with-the-intention-of explaining his opinion.　2. No one supports you when-doing such things.　3. He promises that he will not pursue the exiles.　4. The citizens willingly established Solon as ruler.　5. Let the statue be set up in the market-place itself.　6. They pretend that many cities have revolted.　7. The bystanders seem to have seen nothing.　8. Cyrus was established by his father as satrap.　9. It is not right that the conquered should set up a trophy.　10. Factions will reduce every state to misfortune.

N.B.—In compounds the Active intransitive tenses of ἵστημι must often be translated by the English Passive, *e.g.* καθέστηκα, *I have been reduced*; κατέστην, *I was reduced.*

2. τίθημι.

This is an extremely common verb both in its simple and compound forms, but the only other verb conjugated like it is ἵημι (p. 128)　τίθημι forms an irregular 1 Aor. Act. in -κα, which exists only in the Sing. and sometimes the 3 Pl. of the Indic.　Its place otherwise is taken by the 2 Aor.　The Aor. Indic. will be thus conjugated:

Sing.	ἔθηκα,	ἔθηκας,	ἔθηκε(ν).
Dual.		ἔθετον,	ἐθέτην.
Plur.	ἔθεμεν,	ἔθετε,	ἔθεσαν or ἔθηκαν.

63. Verbs compounded with a Preposition often take a Dative of the Indirect Object, as ἐνέβαλον φόβον τοῖς πολεμίοις, *they cast fear into the enemy.*

Active Voice of τίθημι.

EXERCISE LIX.

1. ἆρα μὴ ῥᾴδιον τὴν φύσιν μετατιθέναι;   2. ὁ Λυκοῦργος νόμους γεγραμμένους οὐκ ἔθηκεν. 3. ὁ κριτὴς ἔλεγε ζημίαν τῷ ἀνδρὶ ἐπιθήσειν.   4. ὁ ἡγεμών, τὸ στράτευμα βουλόμενος ἀσκῆσαι, ἀγῶνα ἐτεθήκει.   5. οἱ ῥήτορες τὸ πρᾶγμα πρὸς τὸν δῆμον προὐτίθεσαν. 6. τῶν βαρβάρων νικηθέντων, δῶρα τοῖς θεοῖς ἀναθῶμεν.   7. πολλάκις οἱ ἄνθρωποι τοῖς ἑαυτῶν κακοῖς ἀλλότρια προστιθέασιν. 8. πρέπει ἡμᾶς τιμᾶν τὸν τοὺς νόμους θέντα.   9. ὁ βασιλεὺς λέγεται πολὺν φόρον τοῖς ὑπηκόοις ἐπιθεῖναι. 10. ὁ δοῦλος, τὸν χρυσὸν δεξάμενος, εἰς τὸ πλοῖον ἐνετίθει.

1. The tyrant will not abide by the laws which he has enacted. 2. The gods imposed very great labours on Hercules. 3. Add nothing to what is now being said. 4. We will dedicate the fifth part of the spoil to Zeus. 5. The general put forward prizes for those who used their weapons best. 6. Does not war change the character of men? 7. Would that he might confer glory upon his own race! 8. These who have-revolted pretend that they are well-disposed to us. 9. They suspected that he would reduce the city to an oligarchy. 10. He who enacts laws ought also to obey them.

Middle and Passive Voices of τίθημι.

τιθέναι νόμους (Act.) is used of a despot who enacts laws for others; τίθεσθαι νόμους (Mid.) of a self-governing people which enacts laws for itself.

64. **Indirect Statement.** After verbs of saying or thinking, instead of the Accusative and Infinitive construction, *that* may be rendered by ὅτι, followed, if the principal verb is in one of the Primary tenses, by the Indicative: as

> λέγει ὅτι γέγραφε, *he says that he has written.*
> λέγει ὅτι ἔγραψεν, *he says that he wrote.*
> λέγει ὅτι γράφει, *he says that he is writing.*
> λέγει ὅτι γράψει, *he says that he will write.*

If the principal verb is in one of the Historic tenses, the verb in the ὅτι clause is either placed in the Optative, or just as often, in order to produce a more vivid effect, it is retained in the same tense of the Indicative which the speaker would have employed in making the direct statement. Thus,

ἔλεγεν ὅτι γράφοι or
ἔλεγεν ὅτι γράφει
    { *he said that he was writing.* (γράφει recalls the actual expression of the speaker, viz. γράφω, '*I am writing.*')

ἔλεγεν ὅτι γράψοι or { he said that he would write. (γράψει
ἔλεγεν ὅτι γράψει { recalls the actual expression γράψω,
{ 'I will write.')

ἔλεγεν ὅτι γράψειεν or { he said that he had written. [In this
ἔλεγεν ὅτι ἔγραψεν { construction the Aor. Opt. has the
{ same past meaning as the Aor.
{ Indic. for which it stands.]
{ ἔγραψεν recalls the actual ex-
{ pression ἔγραψα, 'I wrote.'

ἔλεγε· ὅτι γεγραφὼς εἴη or { he said that he had written (= had
ἔλεγεν ὅτι γέγραφε { finished writing). γέγραφε recalls
{ the actual expression γέγραφα,
{ 'I have written.'

65. Most verbs of saying and thinking, e.g. λέγω, are used indifferently with the Infinitive or with ὅτι. But φάσκω, assert, οἴομαι, think, are to be used with the Infinitive; ἀποκρίνομαι, answer, ἀγγέλλω, announce, ἀκούω, hear, incline to ὅτι. Verbs of hoping and promising take only the Infinitive.

EXERCISE LX.

1. εἰς Σπάρτην φυγών, τοὺς ἐκεῖ παρῄνεσε τοῖς Ἀθηναίοις ἐπιθέσθαι. 2. ἀπεκρίναντο ὅτι ὁ βασιλεὺς οὐ παρείη. 3. οὐδένα ἀμείνω θησαυρὸν καταθήσῃ τοῖς παισὶ τῆς αἰδοῦς. 4. ἀνεβόησεν ὅτι οἱ πολέμιοι νενίκηνται. 5. πρὸ τῆς μάχης κράνη περὶ τὰς κεφαλὰς περιετίθεντο. 6. τὰ ἑαυτῶν * εὖ θέμενοι, τοῦ πολέμου ἤψαντο. 7. ὁ στρατηγὸς καταψηφισθεὶς τὴν ἀρχὴν κατέθετο. 8. δεῖ τὸν ἀνδριάντα ἐν τῷ νεῷ τεθῆναι. 9. νόμους ὡς ἀρίστους ὁ δῆμος τιθεῖτο. 10. ἤγγειλέ τις ὅτι ὁ στρατηγὸς πεφευγὼς εἴη.

1. Since the enemy are retreating, let us lay down our arms. 2. We have heard that the money was not dedicated. 3. He feared lest they might attack the city by night. 4. Hercules is said to have put-round-himself the skin of the lion which he killed. 5. He replied that on the third day he would send a messenger. 6. Let the rulers settle the (affairs) of the city as securely as possible. 7. When the judge had proclaimed the victory, the young man put on the crown. 8. It was announced that the horse-soldiers were

---

* The neut. pl. of the article may be used with a possessive genitive in the sense of *affairs*, *interests*.

approaching. 9. The citizens having deliberated enacted this law.
10. They asserted that they themselves did not begin the war.

3. δίδωμι.

This is a very common verb both in its simple and compound forms, but no other verb is conjugated like it.

δίδωμι forms an irregular 1 Aor. in -κα, which exists in the Sing. of the Indic. and rarely in the Pl. The forms of the 2 Aor. are to be used in the Dual and Pl., and the whole tense is thus conjugated:

Sing.	ἔδωκα,	ἔδωκας,	ἔδωκε(ν).
Dual.		ἔδοτον,	ἐδότην.
Plur.	ἔδομεν,	ἔδοτε,	ἔδοσαν.

Active Voice of δίδωμι.

EXERCISE LXI.

1. λέγεται Κῦρον πολλὰ δῶρα τοῖς ἡλικιώταις διαδοῦναι. 2. οἱ θεοί σοι ἀντὶ κακῶν ἀγαθὰ διδοῖεν. 3. ἀπεκρίνατο ὅτι οἱ στρατιῶται τὰ ὅπλα παραδεδώκασι. 4. τοὺς πολιορκοῦντας ἑπτὰ μῆνας ἀμυνάμενοι, τέλος ἐνέδοσαν. 5. τὴν χώραν τοῖς φυγάσιν ἑκὼν παρέδωκεν οἰκῆσαι. 6. τὴν δεξίαν δόντες, τὸν ὅρκον ἐβεβαίωσαν. 7. ὑπισχνεῖται τοὺς φίλους μήποτε προδώσειν. 8. ἔλεξεν ὅτι δέοι* τοὺς ἀδικήσαντας δίκην διδόναι. 9. μετάδος, ὦ φίλε, τῶν σῶν χρημάτων τοῖς πένησιν. 10. τοῦ πολέμου καθεστῶτος, μὴ ἀμελείᾳ ἐνδῶτε.

1. Let us restore the land which we subdued with our army.
2. The general said that those who-had-fled would pay the penalty.
3. He was giving-a-share-of his wealth to those needing (it).
4. They had distributed arms in order that they might attack the rulers. 5. We fear lest his brother may betray the hostages.
6. He announced that the enemy, although they had promised this, were not handing over the city. 7. It is not fitting that a judge should give way to pity. 8. Who would willingly betray a friend?
9. Let the husbandmen give provisions to those marching through the country. 10. Do we not give gifts to those whom we love?

Middle and Passive Voices of δίδωμι.

ἀποδίδωμι, *give back,* ἀποδίδομαι, *sell,* the Middle conveying the idea of giving away that which is one's own, and for one's own profit.

66. Price and Value are expressed by the Genitive, as μισθοῦται ταλάντου τὸν ἀγρόν, *he hires the field for a talent ;* δόξαν πολλοῦ τιμῶ, *I value reputation highly, at a high rate.*

---

* See δεῖ, p. 142.

Exercise LXII.

1. ὁ χρόνος ὁ δεδομένος ἡμῖν βραχύς ἐστιν.   2. λέγει ὅτι τὸν οἶκον πέντε μνῶν ἀπέδοτο.   3. δίδοτε, καὶ δοθήσεται ὑμῖν.   4. ὁ κριτὴς ἔλεγε θανάτου τιμήσειν.   5. πολλαὶ τιμαὶ τῷ ποιητῇ ἐδόθησαν, ἅτε τὸν βασιλέα ἐπαινέσαντι.   6. πόσου ὁ ἵππος ἐωνήθη;   7. οἱ φυγάδες ἐφοβοῦντο μὴ ὑπὸ τῶν δεξαμένων προδιδοῖντο.   8. προσποιεῖται τὸν ἀγρὸν ὀλίγου ἀποδόσθαι.   9. πάντα δέδοται τοῖς ἀνθρώποις παρὰ τῶν θεῶν.   10. ἀπόδου τὸν καρπὸν τοῖς βουλομένοις ὠνεῖσθαι.

1. Those who made the allies revolt have been handed over to us.   2. They answered that the judge had assessed-the-penalty at one hundred drachmae.   3. The merchant fears lest he may not sell the corn at-a-high-price.   4. It is announced that the city was betrayed on account of gain.   5. Your brother must restore what he has stolen.   6. Having sold the booty for three talents, they gave-a-share-of the money to the priest.   7. We heard that the crowns were being given to the athletes.   8. Let us not sell the free-men, although they are most hostile.   9. The prophet replied that he would not receive what had been given.*   10. May he who-enacted this law pay the penalty.

4. ἵημι, let go, send.

The stem is ἑ-, whence, by reduplication with ι, ἵ-η-μι. The simple verb is of rare occurrence.   The Pres., Imperf., and 2 Aor. are conjugated, except in a few forms, like τίθημι.   The following tenses are conjugated like verbs in ω:

Active Voice.

Future.	1 Aorist.	Perf. and Plup.
ἥ-σω	ἧ-κα	εἷ-κα
		εἵ-κη

Passive and Middle Voices.

Perf. and Plup. Pass. and Mid.	1 Aorist Pass.	1 Future Pass.
εἷ-μαι	εἵ-θην	ἑ-θήσομαι
	ἕθητι	Future Middle.
εἵ-μην	ἑθῶ	ἥ-σομαι
	etc.	

The 1 Aor., which is formed in -κα, ἧκα, is to be used only in the Sing. and 3 Pl. of the Indic. Act.   Its place otherwise is taken by the 2 Aor.

---

* See foot-note on p. 90.

ἵ-η-μι, I let go, send

ACTIVE

TENSES.	Number.	Person.	INDICATIVE.		IMPERATIVE.
			Present.	*Imperfect.*	
PRESENT	S.	1.	ἵ-η-μι	ἵ-ην	
AND		2.	ἵ-η-ς	ἵ-εις*	ἵ-ει
IMPERFECT.		3.	ἵ-η-σι(ν)	ἵ-ει	ἱ-έ-τω
	D.	2.	ἵ-ε-τον	ἵ-ε-τον	ἵ-ε-τον
Stem ἱε.		3.	ἵ-ε-τον	ἱ-έ-την	ἱ-έ-των
	P.	1.	ἵ-ε-μεν	ἵ-ε-μεν	
		2.	ἵ-ε-τε	ἵ-ε-τε	ἵ-ε-τε
		3.	ἱ-ᾶ-σι(ν)	ἵ-ε-σαν	ἱ-έ-ντων
			2 *Aor.*	1 *Aor.*	
2 AORIST.	S.	1.	Wanting.	ἧ-κα	
		2.		ἧ-κα-ς	ἕ-ς
Stem ἑ.		3.		ἧ-κε(ν)	ἕ-τω
	D.	2.	εἷ-τον		ἕ-τον
		3.	εἵ-την		ἕ-των
	P.	1.	εἷ-μεν		
		2.	εἷ-τε		ἕ-τε
		3.	εἷ-σαν	ἧ-καν	ἕ-ντων

MIDDLE

	Number.	Person.	*Present.*	*Imperfect.*	
PRESENT	S.	1.	ἵ-ε-μαι	ἱ-έ-μην	
AND		2.	ἵ-ε-σαι	ἵ-ε-σο	ἵ-ε-σο
IMPERFECT.		3.	ἵ-ε-ται	ἵ-ε-το	ἱ-έ-σθω
	D.	2.	ἵ-ε-σθον	ἵ-ε-σθον	ἵ-ε-σθον
Stem ἱε.		3.	ἵ-ε-σθον	ἱ-έ-σθην	ἱ-έ-σθων
	P.	1.	ἱ-έ-μεθα	ἱ-έ-μεθα	
		2.	ἵ-ε-σθε	ἵ-ε-σθε	ἵ-ε-σθε
		3.	ἵ-ε-νται	ἵ-ε-ντο	ἱ-έ-σθων
2 AORIST.	S.	1.	εἵ-μην		
		2.	εἷ-σο		οὖ
Stem ἑ.		3.	εἷ-το		ἕ-σθω
			(εἱ- throughout)		etc., as in ἵσο

---

* Rarely ἵης, ἵη.

(Stem ἑ).

VOICE.

SUBJUNCTIVE.	OPTATIVE.	INFINITIVE.	PARTICIPLE.
ἱ-ῶ	ἱ-είην	ἱ-έ-ναι	M. ἱ-εί-ς
ἱ-ῇ-ς	ἱ-είης		F. ἱ-εῖ-σα
ἱ-ῇ	ἱ-είη		N. ἱ-έ-ν
ἱ-ῆ-τόν	ἱ-εῖτον		
ἱ-ῆ-τον	ἱ-είτην		Stem ἱεντ,
ἱ-ῶ-μεν	ἱ-εῖμεν		decl. like λυθείς,
ἱ-ῆ-τε	ἱ-εῖτε		p. 69
ἱ-ῶ-σι(ν)	ἱ-εῖεν		

ὦ	εἵην	εἷ-ναι	M. εἷ-ς
ᾖ-ς	εἵης		F. εἷ-σα
ᾖ	εἵη		N. ἕ-ν
ᾖ-τον	εἷτον		
ᾖ-τον	εἵτην		Stem εντ,
ὦ-μεν	εἷμεν		decl. like λυθείς,
ᾖ-τε	εἷτε		p. 69
ὦ-σι(ν)	εἷεν		

VOICE, I hasten

ἱ-ῶ-μαι	ἱ-εί-μην	ἵ-ε-σθαι	M. ἱ-έ-μενος
ἱ-ῇ	ἱ-εῖ-ο		F. ἱ-ε-μένη
ἱ-ῆ-ται	ἱ-εῖ-το		N. ἱ-έ-μενον
ἱ-ῆ-σθον	ἱ-εῖ-σθον		
ἱ-ῆ-σθον	ἱ-εί-σθην		Stem ἱεμενο
ἱ-ώ-μεθα	ἱ-εί-μεθα		
ἱ-ῆ-σθε	ἱ-εῖ-σθε		
ἱ-ῶ-νται	ἱ-εῖ-ντο		

ὦ-μαι	εἵ-μην*	ἕ-σθαι	M. ἕ-μενος
ᾖ	εἷ-ο		F. ἑ-μένη
ᾖ-ται	εἷ-το		N. ἕ-μενον
etc., as in ἰῶμαι	etc., as in ἱείμην		Stem ἑμενο

---

* Sometimes in composition οἵμην, οἷο etc.

EXERCISE LXIII.

1. ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τὰ ἀφανῆ.   2. πέδας λέγουσιν εἰς τὸν Ἑλλήσποντον καθεῖναι Ξέρξην.   3. ἦ συνῆκας ἅ σοι ἐδήλου;   4. τοῦ στρατηγοῦ σημήναντος, οἱ στρατιῶται δρόμῳ ἵεντο. 5. οἱ σπουδαῖοι τὰ δέοντα πράττειν οὐ μεθιᾶσιν.   6. ἀκούομεν ὅτι ἡ πρὶν συμμαχία ἀφεῖται.   7. οὗτοι οἱ ὄρνιθες καλλίστην φωνὴν ἱέναι λέγονται.   8. οἱ βάρβαροι εἰρήνης ἤδη καθεστηκυίης, ταχὺ πόλεμον ἀνεῖσαν.   9. μεθιέτω μὴ οἱ πολιορκούμενοι τὸν καιρὸν παρεῖεν.   10. ἐπεισεν αὐτοὺς μὴ τὰ ἑαυτῶν προέσθαι.

1. He let the captives go, that it might not be necessary to support them.   2. They promised that they would not surrender the island. 3. The young men were trying to understand the words of the philosopher.   4. Has the house been bought at-a-high-price or not ?   5. Let us not omit to guard the walls more carefully.   6. Though the danger was great, they let many days go by.   7. Do not most men seem to desire wealth ?   8. The judge has assessed-the-penalty at fifteen hundred drachmae.   9. Let them not surrender the freedom which they have.   10. Let the slave go, that he may not pay the penalty.

XXIX.—DEFECTIVE VERBS IN μι (μαι).

1. εἶμι, shall go, Stem ι.

εἶμι has in the Pres. Indic. a Future meaning which is easily obtained from the verbal notion, I go being often little different from I shall go. The Imperfect has the meaning of an ordinary Imperfect; the other moods and participle have nearly always a Present meaning. The verb ἔρχομαι is used in the Indic. to express I go with a Present meaning.

		INDICATIVE.		IMPERATIVE.	SUBJUNCTIVE.	OPTATIVE.
		Pres.	Imperf.			
S.	1.	εἶμι	ᾖα*		ἴω	ἴοιμι†
	2.	εἶ	ᾔεισθα	ἴθι	ἴῃς	ἴοις
	3.	εἶσι(ν)	ᾔει(ν)	ἴτω	ἴῃ	ἴοι
D.	2.	ἴτον	ᾖτον	ἴτον	ἴητον	ἴοιτον
	3.	ἴτον	ᾔτην	ἴτων	ἴητον	ἰοίτην
P.	1.	ἴμεν	ᾖμεν		ἴωμεν	ἴοιμεν
	2.	ἴτε	ᾖτε	ἴτε	ἴητε	ἴοιτε
	3.	ἴᾱσι(ν)	ᾖσαν	ἰόντων	ἴωσι(ν)	ἴοιεν

Infinitive, ἰέναι.   *Participle,* ἰών, ἰοῦσα, ἰόν, Stem ιοντ.

---

* Later forms are: ᾔεω, ᾔεις;   † Sometimes in sing. ἰοίην. ᾔεσαν.

67. Indirect Question.* The construction of the verb in the indirect question is the same as in a ὅτι clause (see Par. 64). If the principal verb is in one of the Primary tenses, the verb in the question clause is in the Indicative, as ἐρωτῶ εἰ γράφει, *I ask if* (or *whether*) *he is writing.* If the principal verb is in one of the Historic tenses, the verb in the question clause is either placed in the Optative, or retained in the same tense of the Indicative which would have been employed in putting the direct question. Thus, ἠρώτων εἰ γράφοι or γράφει, *I asked if* (or *whether*) *he was writing.* (γράφει; *is he writing?* would have been the actual word used in the direct question.)

68. The indirect question may be introduced by the direct forms of interrogative pronouns, adjectives, and adverbs, *e.g.* τίς, ποῖος, πόσος, πῶς, ποῦ, ποῖ, or by their indirect correlatives, ὅστις, ὁποῖος, ὁπόσος, ὅπως, ὅπου, ὅποι. Thus, *he asks who you are* may be either ἐρωτᾷ τίς εἶ, or ἐρωτᾷ ὅστις εἶ.

Exercise LXIV.

1. πολέμου προσιόντος, ἔριδος καὶ στάσεως δεῖ ἀπέχεσθαι. 2. Δημήτηρ πᾶσαν τὴν γῆν περιῄει, ζητοῦσα τὴν θυγατέρα Περσεφόνην. 3. ἤρετο ὁπόσον τὸ στράτευμα εἴη. 4. εἰς τὸν νεὼν ᾖσαν, τὰ ἱερὰ θύσοντες. 5. ἠρώτα αὐτοὺς ποῖ φεύγουσιν. 6. τῶν Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν εἰσβαλόντων, Περικλῆς ἐκέλευσε τοὺς Ἀθηναίους μὴ ἐπεξιέναι. 7. πρὸς τοὺς ἀντιτεταγμένους ἀνδρείως ἔπιασιν. 8. ὡς τάχιστα ἀπίωμεν, ἵνα τοῖς ἐν πόλει βοηθῶμεν. 9. τοὺς στρατιώτας ἠρόμην εἰ οὐ νικηθεῖεν. 10. ἴτω τὰ πράγματα, ὡς τῷ θεῷ φίλον.

1. The citizens are afraid lest the exiles may return. 2. The young man asked who the sophists were. 3. It is uncertain whether he will go-after the slaves who have escaped (art. and partic.). 4. I was going into the market place to listen to (Par. 39) the orators. 5. Let not the hoplites go out of the camp. 6. I asked whether the general was not advancing against the enemy. 7. They were not obeying the laws enacted by themselves. 8. Do you ask who has betrayed the city? 9. We killed the tyrant when entering his own house. 10. Go and try to do good to Greece.

---

* In Greek the *subjunctive* is *never* used to express a simple indirect question, as is invariably the case in Latin: so *rogat quis sis* in Latin is ἐρωτᾷ τίς εἶ (*not* ᾖς) in Greek. But see § 71.

2. φημί, *say*, Stem φα.

This verb, which is of very frequent occurrence, is conjugated, except in one or two forms, like ἵστημι. The pres. part. φάς is rarely used, φάσκων, the pres. part. of φάσκω, taking its place.

Present Indicative.

Sing.	Dual.	Plur.
φημί, φής (or φῇς), φησί(ν)	φατόν, φατόν	φαμέν, φατέ, φᾶσί(ν)

Imperfect.

ἔφην, ἔφησθα, ἔφη	ἔφατον, ἐφάτην	ἔφαμεν, ἔφατε, ἔφασαν

Imp. φαθί, or φάθι, φάτω, etc.
Subj. φῶ, φῇς, φῇ, etc.
Optat. φαίην, φαίης, φαίη, etc.
Infin. φάναι.   Part. φάς, φᾶσα, φάν, Stem φαντ.
Fut. φήσω.   1 Aor. ἔφησα.

NOTE.—The Present Indicative of φημί, with the exception of the 2nd Pers. Sing., is an enclitic, and therefore throws its accent back on the last syllable of the preceding word. See enclitics in section on Accents.

3. κεῖμαι, *lie*, Stem κει.

κεῖμαι serves as a perfect pass. to τίθημι, as κεῖται ζημία, *a penalty is laid down*, and has the inflections of a perfect.

Present Indicative.

Sing.	Dual.	Plur.
κεῖμαι, κεῖσαι, κεῖται	κεῖσθον, κεῖσθον	κείμεθα, κεῖσθε, κεῖνται.

Imperfect.

Sing.	Dual.	Plur.
ἐκείμην, ἔκεισο, ἔκειτο	ἔκεισθον, ἐκείσθην	ἐκείμεθα, ἔκεισθε, ἔκειντο.

Imp. κεῖσο, κείσθω, etc.
Subj.   3 *Sing.* κέηται   3 *Plur.* κέωνται (rare)
Optat.   3 *Sing.* κέοιτο   3 *Plur.* κέοιντο (rare)
Infin. κεῖσθαι
Part. κείμενος.   Fut. κείσομαι.

4. ἧμαι, *sit*, Stem ἡσ.

The simple form of the verb is poetical; in Attic prose κάθημαι is used. In the Imperf. an irregular augment is found before the preposition, the verb having ceased to be felt as a compound. The σ of the stem is dropped except in the unaugmented form of the 3 Sing. Imperf. The inflections are those of a Perfect.

Present Indicative.

Sing.	Dual.
κάθημαι, κάθησαι, κάθηται	κάθησθον, κάθησθον

Plur.

κάθήμεθα, κάθησθε, κάθηνται

Imperfect.

Sing.	Dual.
ἐκαθήμην ἐκάθησο ἐκάθητο	ἐκάθησθον ἐκαθήσθην
or καθήμην καθῆσο καθῆστο	or καθῆσθον καθήσθην

Plur.

ἐκαθήμεθα ἐκάθησθε ἐκάθηντο
or καθήμεθα καθῆσθε καθῆντο

Imp. κάθησο, καθήσθω, etc.
Subj. καθῶμαι, καθῇ, καθῆται, etc. (rare)
Optat. καθοίμην, καθοῖο, καθοῖτο, etc. (rare)
Infin. καθῆσθαι. Part. καθήμενος.

69. When φημί introduces an indirect statement, it always takes the Infinitive construction. When the statement is a negative one, οὐ is usually transferred from the Infinitive clause to φημί itself. Thus, *he says that these things are not useful* becomes οὐ φησι ταῦτα χρηστὰ εἶναι. Cf. the use of *nego* in *negat hæc utilia esse.*

Exercise LXV.

1. φήσομεν τοῦτον ἀδικεῖν ἢ οὔ; 2. ἀκούομεν ὅτι ἡ γλαὺξ ἀνέκειτο τῇ Ἀθηνᾷ. 3. τῶν πολεμίων ἐπιόντων, ἐνθάδε καθήμεθα. 4. οὐκ ἔφη αὐτὸς ἀλλ᾽ ἐκεῖνον στρατηγεῖν. 5. ἐρωτᾷ ὅπου ἡ ὁδὸς ἡ ἐπὶ Βάκτρα ἄγουσα κεῖται. 6. δύο*

---

* Often used with plurals.

βραβῆς ἐκάθηντο, οἳ τοὺς ἀθλητὰς ἔκρινον.   7. σὺ μὲν ταῦτα
ἔφησθα, οἱ δὲ περιεστῶτες οὐδὲν συνεῖσαν.   8. οὗτος ὁ νόμος
ἡμῖν κείσθω, ἵνα τὴν πολιτείαν βεβαιοτέραν ἔχωμεν.   9. ἀπήγ-
γειλεν ὅτι ὁ βασιλεὺς οὐδὲν σαφὲς περὶ τῶν πρέσβεων φαίη.
10. οἱ Ἀθηναῖοι ἔφασαν γένος παλαίτατον εἶναι.

1. The men of old believed that the laws were laid down by the
gods themselves.   2. They say (use φημί) that he does not desire
war.   3. The occasion will not allow us to sit expecting better
things.   4. I asked the soldiers whither they were marching.
5. Are we to dismiss the allies whom we no longer need?   6. It is
uncertain whether the shields are dedicated in the temple.
7. Three villages lay upon (ἐν) the road leading through the plain.
8. The herald ordered those who-were-sitting to stand up.   9. Let
the money which they restored to us be laid in safety (see ἀσφαλής
in vocab.).   10. The city is fortunate in which just judges sit.

XXX.—VERBS IN μι LIKE ἵστημι IN
PRESENT AND IMPERFECT.

ὀνίνημι, *benefit* (trans.), Stem ὀνα (ὀν-ίνη-μι for ὀν-ονη-μι).
Imperf. Act. not found. Fut. ὀνήσω. 1 Aor. ὤνησα.
   Mid. ὀνίναμαι, *derive benefit*. Fut. ὀνήσομαι. 2 Aor.
ὠνήμην, ὤνησο, ὤνητο, etc. Opt. ὀναίμην, ὄναιο, ὄναιτο, etc.
Infin. ὄνασθαι. 1 Aor. Pass. ὠνήθην.

πίμπλημι, *fill*, Stem πλα, μ being inserted as an auxiliary
consonant after the reduplication, πί-μ-πλη-μι. In prose
πιμπλημι is nearly always compounded with ἐν, which
before π becomes ἐμ. The second μ is then dropped, to
avoid a repetition of the same sound, and we get Pres.
ἐμπίπλημι; but in the Imperf. μ is retained, because ἐν is
unchanged before the augment: ἐνεπίμπλην. Fut. πλήσω.
1 Aor. ἔπλησα. Perf. πέπληκα. Perf. Pass. πέπλησμαι.
1 Aor. Pass. ἐπλήσθην.

πίμπρημι, *burn*, Stem πρα, Pres. formed like πίμπλημι
above, and in prose nearly always ἐμπίπρημι. Fut. πρήσω.
1 Aor. ἔπρησα. Perf. Pass. πέπρημαι or πέπρησμαι. 1 Aor.
Pass. ἐπρήσθην.

70. A double indirect question is expressed either by
πότερον . . . ἤ, εἰ . . . ἤ, or εἴτε . . . εἴτε. Thus,

ἐρωτᾷ πότερον αἰσχυνόμεθα ἢ οὔ,
    ,,   εἰ   ,,   ἢ οὔ,
    ,,   εἴτε   ,,   εἴτε οὔ,

he asks whether we are ashamed or not.

EXERCISE LXVI.

1. ὁ ῥήτωρ τὸν δῆμον ἐλπίδων κενῶν ἐμπίπλησι. 2. φασὶ
τοὺς Πέρσας ἐν τῷ πρὸς τοὺς Ἕλληνας πολέμῳ πολλοὺς νεὼς
ἐμπρῆσαι. 3. ἐρώτα πότερον ἄπεισιν ἢ μενεῖ. 4. οἱ δοῦλοι τοὺς
κρατῆρας ὕδατος ἐνεπίμπλασαν. 5. ὑπισχνεῖτο τὸν οἶκον τοῦ
ποιητοῦ μὴ ἐμπρήσειν. 6. ὄναιο, ὦ φίλε, καὶ ὧν ἐφίεσαι πράξειας.
7. οὗτος ὁ ἀνήρ, καίπερ πλούσιος ὤν, πλεονεξίας ἐνεπλήσθη. 8.
Θεμιστοκλῆς, ὡς δοκεῖ, οὐκ ὤνητο ἀπὸ τῆς ναυμαχίας τῆς περὶ
Σαλαμῖνα. 9. ἤρετο εἴτε ἡ κώμη ἐμπρησθείη εἴτε σωθείη. 10.
τοὺς βαρβάρους ἐκ τῆς χώρας ἐκβαλών, τὴν ἡμετέραν πόλιν
ὤνησεν.

1. He sent the soldiers away, fulfilling the hopes of all. 2. The
allies having revolted, their city has been burnt. 3. The philosopher
asks whether wealth benefits men or not. 4. Has not flattery filled
many friendships with mistrust? 5. The general was advancing
against those burning the corn. 6. We hoped that by means of
you we would derive benefit. 7. They benefited the citizens by
deposing (Par. 47) that man from office. 8. The soldiers having
set up a trophy were going away to their homes. 9. We heard
that he had subdued the parts * in-the-direction-of Thrace.
10. Three talents having been given, they let the captives go.

DEPONENTS LIKE ἵσταμαι IN PRESENT AND IMPERFECT.

ἄγαμαι, *admire*, Stem ἀγα, 1 Aor. ἠγάσθην.

δύναμαι, *am able, can*, Stem δυνα. Imperf. ἐδυνάμην or
ἠδυνάμην. 2 Sing. ἐδύνω or ἠδύνω (for ἐδύνα-σο, σ dropping
and α contracting with o). Fut. δυνήσομαι. Perf. δεδύνημαι.
1 Aor. ἐδυνήθην or ἠδυνήθην.

ἐπίσταμαι, *know*, Stem ἐπιστα. 2 Sing. Imperf. ἠπίστω.
Fut. ἐπιστήσομαι. 1 Aor. ἠπιστήθην.

κρέμαμαι, *hang* (intrans.), Stem κρεμα. 2 Sing. Imperf.
ἐκρέμω. Fut. κρεμήσομαι.

---

* Neut. pl. of article.

ἐπριάμην, *bought*, 2 Aor. Mid. to ὠνέομαι, *buy*.   Stem πρια.
2 Sing. Indic. ἐπρίω, 2 Sing. Imperat. πρίω.   Otherwise
the Indic. is like the Imperf. Mid. of ἵστημι, and the other
moods and participle like the Pres. Mid.

71. When a deliberative question (Par. 53) is indirect,
it remains in the Subjunctive after a verb in one of the
Primary tenses, as βουλεύεται ὅπου στῇ, *he is deliberating
where he should stand* (or *where to stand*).   After one of the
Historic tenses it is either placed in the Optative, or, for
the sake of greater vividness, retained in the Subjunctive.
Thus, ἐβουλεύετο ὅπου σταίη or στῇ, *he was deliberating where
he should stand* (or *where to stand*).   στῇ recalls the actual
mood which would have been used in the direct question
ποῦ στῶ ; *where am I to stand?*

72. The deliberative question, both direct and indirect,
is negatived by μή, as μὴ ἀπίωμεν ; *are we not to go away?*
βουλεύεται εἴτε ἀπίῃ εἴτε μή, *he is deliberating whether to go
away or not.*

EXERCISE LXVII.

1. τὸ ψευδὲς οὐ δύνασαι ἀληθὲς ποιεῖν.   2. τὸν σῖτον ἑπτὰ
μνῶν πριάμενοι, πλείονος ἀπέδοντο.   3. ἠπόρει ὅπως εἰς τὸ
στρατόπεδον εἰσίοι.   4. οὐκ ἠπίστω τὰ σαυτοῦ εὖ θέσθαι ; 5.
οὐδείς ἐστιν ὅστις ἀδικηθεὶς οὐκ ἂν δυνηθείη ἑαυτῷ ἐπαμῦναι.   6.
τοῦ πολέμου τελευτήσαντος, τὰ ὅπλα ἐν τοῖς οἴκοις κρεμήσεται.
7. τοὺς τὴν πόλιν σώσαντας ἠγάσθητε.   8. ἐβουλεύοντο εἴτε τὴν
λείαν καταθῶνται εἰς χωρίον ἀσφαλέστερον εἴτε μή.   9. ὑμῶν
μὴ κωλυόντων, δυνησόμεθα ἐξιέναι.   10. ἄριστόν ἐστι πάντ'
ἐπίστασθαι καλά.

1. Those who-have not been instructed themselves are not able
to instruct others.   2. The shields which the citizens dedicated
hang in the temple.   3. You bought the field for twelve minæ, and
sold it for fifteen.   4. Are we to allow the exiles to return or not?
5. The orator knows (how) to deceive the ignorant.   6. I asked
the physician whether he was able to heal the wound.   7. They
said (φημί) that they had not surrendered the interests of the city.
8. They were deliberating whether to kill the captives or let them
go.   9. The king was not able to corrupt the ambassadors with
gold.   10. They see the body of the traitor hanging from the top
of the wall.

XXXI.—EXERCISES ON THE SECOND CLASS OF VERBS IN μι.

In this class νυ is inserted between the stem and the termination μι, as in

δείκ-νυ-μι, *show*, Stem δεικ.

The Pres. Subj. and Opt., Act. and Mid., of δείκνυμι follow verbs in ω.

EXERCISE LXVIII.

1. οἱ ἀληθῶς σοφοὶ οὐ πειρῶνται ἐνδείκνυσθαι τὴν αὐτῶν σοφίαν. 2. δείξομεν τοῖς πολεμίοις ὅτι ἄλλοι αὐτῶν κρείττους εἰσίν. 3. τὴν ὁδὸν χρὴ δεικνύναι τοῖς ζητοῦσιν. 4. τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. 5. ἠκούσαμεν ὅτι ὁ βασιλεὺς τὸν ἑαυτοῦ υἱὸν στρατηγὸν ἀποδείξειεν. 6. μὴ δείκνυ σαυτὸν τῶν δεόντων ἀμελοῦντα. 7. φῶμεν ταῦτα ἀληθῆ εἶναι ἢ μή; 8. ὁ φιλόσοφος ἀπεδείκνυ ὅτι πάντα ἐξ ἑνὸς συνέστηκεν. 9. χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος. 10. οὗτος ὑφ᾽ ὑμῶν στρατηγὸς ἀποδέδεικται ἵνα τοὺς ἡμετέρους συμμάχους ἀφιστῇ.

1. He was afraid lest the slaves might show the treasure to the robbers. 2. The others, having risen, declared their opinions. 3. The general institutes a contest, that he may display his army to the queen. 4. He was appointed ruler according to the established law. 5. The philosophers prove that nothing remains in the same-place.* 6. Do not display anger, O friend. 7. We hoped that the king would not appoint those men leaders. 8. They were at a loss whether to give way or to prepare arms (Par. 71). 9. May the soldiers on this day display valour! 10. He did not know (how) to use the opportunity.

VERBS LIKE δείκνυμι IN PRESENT AND IMPERFECT.
Vowel Stems.

These double the ν of νυ, as σκεδά-ννυ-μι *scatter*, Stem σκεδα. The only one forming a 2 Aor. is σβέννυμι, *quench*.

Stems in α.

κεράννυμι, *mix*, Stem κερα, κρα. 1 Aor. ἐκέρασα. Perf. Pass. κέκρᾱμαι. 1 Aor. Pass. ἐκράθην or ἐκεράσθην. 1 Fut. Pass. κρᾱθήσομαι.

---

* Neut. sing. of ὁ αὐτός.

κρεμάννυμι, *hang* (trans.), Stem κρεμα. Fut. κρεμῶ (for κρεμάσω ; σ drops and α contracts with the personal endings as in τιμάω). 1 Aor. ἐκρέμασα. 1 Aor. Pass. ἐκρεμάσθην.

πετάννυμι, *spread out*, Stem πετα, πτα. Fut. πετῶ (for πετα-σω, with α contraction). 1 Aor. ἐπέτασα. Perf. Pass. πέπταμαι. 1 Aor. Pass. ἐπετάσθην.

σκεδάννυμι, *scatter*, Stem σκεδα. Fut. σκεδῶ (for σκεδα-σω, with α contraction). 1 Aor. ἐσκέδασα. Perf. Pass. ἐσκέδασμαι. 1 Aor. Pass. ἐσκεδάσθην.

Stems in ε.

ἕννυμι, *clothe*, Stem ἑ (orig. ἐσ- for Ϝεσ-, Lat. *ves-tio*), in prose only ἀμφι-έννυμι. Fut. ἀμφιῶ (for ἀμφιε-σω ; σ drops and ε contracts with the personal endings as in ποιέω). 1 Aor. ἠμφίεσα. Mid. ἀμφιέννῠμαι, *put on*. Fut. ἀμφιέσομαι. Perf. Pass. ἠμφίεσμαι.

σβέννυμι, *quench*, Stem σβε. Fut. σβέσω. 1 Aor. ἔσβεσα. 2 Aor. Act. ἔσβην, intrans. *was quenched, went out*. Perf. ἔσβηκα, intrans. *is quenched*. Fut. Mid. σβήσομαι. 1 Aor. Pass. ἐσβέσθην.*

στόρνυμι, *strew* (for στορέ-ννυ-μι, which is not found). Stem στορε. Fut. στορῶ (for στορε-σω, with ε contraction). 1 Aor. ἐστόρεσα.

Stems in ω.

ζώννυμι, *gird*, Stem ζω. 1 Aor. ἔζωσα. 1 Aor. Mid. ἐζωσάμην. Perf. Pass. ἔζωσμαι or ἔζωμαι.

ῥώννυμι, *strengthen*, Stem ῥω. 1 Aor. ἔρρωσα. Perf. Pass. ἔρρωμαι, *am strong* (Imperat. ἔρρωσο, *farewell*, like Lat. *vale*, Imperat. of *valeo, am strong*). 1 Aor. Pass. ἐρρώσθην.

στρώννυμι, *strew*, Stem στρω. Fut. στρώσω. 1 Aor. ἔστρωσα. Perf. Pass. ἔστρωμαι.

Consonant Stems.

ἄγνυμι, *break*, Stem ἀγ (for Ϝαγ, Lat. *frango*), in prose only κατ-άγνυμι. 1 Aor. κατέαξα. 2 Perf. κατέᾱγα, *am broken*. 2 Aor. Pass. κατεάγην.

ζεύγνυμι, *yoke, join*, Stem ζευγ, ζυγ. Fut. ζεύξω. 1 Aor.

---

* Cf. the meanings of ἵστημι, p. 121.

ἔζευξα. Perf. Pass. ἔζευγμαι. 1 Aor. Pass. ἐζεύχθην. 2 Aor.
Pass. ἐζύγην.

μίγνυμι, mix, Stem μιγ. Fut. μίξω. 1 Aor. ἔμιξα. Perf.
Pass. μέμιγμαι. 1 Aor. Pass. ἐμίχθην. 2 Aor. Pass. ἐμίγην.

οἴγνυμι, open, in prose ἀνοίγνυμι or ἀνοίγω. See ἀνοίγω,
p. 111.

ὄλλυμι, destroy (for ὀλ-νυ-μι), Stem ὀλ, ὀλε, in prose
ἀπ-όλλυμι. Fut. ἀπολῶ (for ἀπολε-σω, with ε contraction).
1 Aor. ἀπώλεσα. Perf. ἀπολώλεκα (Attic redupl., p. 111).
2 Perf. ἀπόλωλα, am undone. Mid. ἀπόλλῦμαι, perish. Fut.
ἀπολοῦμαι (with ε contraction). 2 Aor. ἀπωλόμην.

ὄμνυμι, swear, Stem ὀμ, ὀμο. Fut. Mid. ὀμοῦμαι (with ε
contraction). 1 Aor. ὤμοσα. Perf. ὀμώμοκα (Attic redupl.).
1 Aor. Mid. ὠμοσάμην. Perf. Pass. 3 Sing. ὀμώμοται or
ὀμώμοσται. 1 Aor. Pass. ὠμόθην or ὠμόσθην.

πήγνυμι, fix, Stem πηγ, παγ. Fut. πήξω. 1 Aor. ἔπηξα.
2 Perf. πέπηγα, am fixed. 2 Aor. Pass. ἐπάγην. 2 Fut.
Pass. παγήσομαι.

ῥήγνυμι, break (trans.), Stem ῥηγ, ῥαγ. Fut. ῥήξω. 1 Aor.
ἔρρηξα. 2 Perf. ἔρρωγα, have broken out (intrans.). 2 Aor.
Pass. ἐρράγην.

Exercise LXIX.

Vowel Stems.

1. οἱ ἱππῆς βοηθήσαντες τῶν ψιλῶν τινας, ἐσκεδασμένους
ἀπέκτειναν. 2. ὕδωρ ἐξ οὐρανοῦ πολὺ λέγεται τὸ πῦρ σβέσαι.
3. ὁ δεσπότης, ἅτε ἀγνὼς ὢν τοῖς διώκουσι, τὸν τοῦ δούλου
χιτῶνα ἀμφιέσεται. 4. ὁ οἶκος τὴν εἴσοδον πρὸς τὸ φῶς
ἀναπεπταμένην ἔχει. 5. τότ᾽ ἐρρώμην, ἔφη, καὶ τὴν πόλιν εὖ
ποιεῖν ἠδυνάμην. 6. μεγάλου κινδύνου ἐπικρεμασθέντος, πάντες
εἰς φόβον κατέστησαν. 7. θέρους μὲν οἱ γεωργοὶ ἐργάζονται
γυμνοί, χειμῶνος δὲ ἠμφιεσμένοι. 8. ἐρωτᾷ πότερον ὁ οἶνος
ὕδατι κέκραται ἢ οὔ. 9. οὐκ ἔφασαν αὐτοὶ τὸν λῃστὴν κρεμάσαι.
10. ἔρρωσο, καὶ χάριν τῆς σωτηρίας τοῖς θεοῖς ἔχε.

1. Let us speak temperately and extinguish anger. 2. The dead
were lying upon couches strewn with flowers. 3. These are they
who-scattered (κατασκεδάννυμι) this report concerning me. 4. The
traitors, having been condemned, were hung in the middle of the
market-place. 5. The light-armed, being weak, were easily scat-
tered. 6. Among the Persians the learning of (say to learn) horse-

manship has become extinct (Perf. ἀποσβέννυμι).   7. All were hoping that the king would not sell the captives.   8. Having conquered in a great battle, they were much more encouraged. 9. The priest, having mixed the bowl, prayed to Apollo.   10. The river having become dry (1 aor. pass. ἀποσβέννυμι), the soldiers were in-want-of water.

73. The Dative is used with a comparative (or its equivalent) to express the amount of difference, as πολλῷ μείζων, *much greater* (lit. *greater by much*); δύοιν ἡμέραιν πρότερον, *two days before* (lit. *before by two days*).

Exercise LXX.

Consonant Stems.

1. ὀμώμοκεν ὁ κριτὴς κατὰ τοὺς νόμους δικάσειν.   2. ὁ φιλόσοφος ἔλεγε τὴν γῆν ἐξ ἀέρος καὶ πυρὸς συμπαγῆναι.   3. ὁ ἀδελφὸς ὁ ἐμὸς τῆς μάχης ὑστέρησε τρισὶν ἡμέραις.   4. ἆρ' οὐχ ἡ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν ;   5. ἄδηλόν ἐστιν ὅστις πρῶτος ἵππους ἔζευξεν.   6. οἱ πολιορκούμενοι ἐφοβοῦντο μὴ αἱ πύλαι νυκτὸς ἀνοιχθεῖεν.   7. ἐνόμιζεν αὐτὸς μακρῷ σοφώτατος πάντων εἶναι.   8. μίαν τῶν νεῶν ἀνειλκυσμένων ἡ θάλασσα κατέαξεν. 9. μηδεὶς πειράσθω κακὰ ἀγαθοῖς μιγνύναι.   10. οὐκ ἐτόλμα λέγειν ὅτι ἐγὼ εἰρήνην κεκωλυκὼς εἴην.

1. Those who-fled perished six days later.   2. Upon this river there was a bridge joined by seven boats.   3. The general having handed over the command, the whole city is undone.   4. It has been announced that one boundary will be fixed for all.   5. Let the allies swear each on behalf of their own city.   6. I believe that your brother is a little stronger than you.   7. The earth here is said by the inhabitants to have once been rent-asunder (ῥήγνυμι). 8. The witnesses will swear falsely, but will not deceive the judge. 9. The king destroyed the interests of the city by-allowing the exiles to return.   10. They pretended that the horses had been yoked as quickly as possible.

XXXII.—IRREGULAR VERBS.

I.—Verbs which add ε to the Stem.

1. In the Present Tense.

Present.	Future.	Aorist.	Perfect.
γαμ-έ-ω, γαμῶ, *marry.* Act., of the man, gov. acc.	γαμῶ	ἔγημα	γεγάμηκα
γαμοῦμαι, *marry.* M. of the woman, gov. dat.	γαμοῦμαι	ἐγημάμην	γεγάμημαι
δοκ-έ-ω, δοκῶ, *seem*	δόξω	ἔδοξα	δέδογμαι P.
ὠθ-έ-ω, ὠθῶ, *push* (See p. 111)	ὤσω ὤσομαι M.	ἔωσα ἐωσάμην M. ἐώσθην P.	ἔωσμαι M. and P.

2. In other Tenses (often η).

Present.	Future.	Aorist.	Perfect.
ἄχθομαι, *am grieved*	ἀχθ-έ-σομαι ἀχθεσθήσομαι	ἠχθέσθην	
βούλομαι,* *wish*	βουλ-ή-σομαι	ἐβουλήθην or ἠβουλήθην	βεβούλημαι
γίγνομαι, *become* (for γι-γεν-ομαι)	γεν-ή-σομαι	ἐγενόμην	γέγονα † γεγένημαι
δέω, *want*	δε-ή-σω	ἐδέησα	δεδέηκα
δεῖ, impers. *it is necessary (there is a need that . . .)*	δε-ή-σει	ἐδέησε	
δέομαι, *need, ask*	δε-ή-σομαι	ἐδεήθην	δεδέημαι

* 2 Sing. always βούλει, Imperf. ἐβουλόμην or ἠβουλόμην.
† Perf. Part. γεγονώς is some-times written γεγώς, γεγῶσα (Gen. γεγῶτος, γεγώσης), *born*, as if from γέ-γα-α.

I.—Verbs which add ε to the Stem (*continued*).

Present.	Future.	Aorist.	Perfect.
ἐθέλω,* *wish*	ἐθελ-ή-σω	ἠθέλησα	ἠθέληκα
Stem ἐρ, *ask* †	ἐρ-ή-σομαι	ἠρόμην	
καθέζομαι, *sit*, Stem ἑδ,	καθεδοῦμαι		
Imperf. ἐκαθεζόμην			
καθεύδω, *sleep*,	καθευδ-ή-σω		
Imperf. ἐκάθευδον			
or καθηῦδον			
μάχομαι, *fight*	μαχοῦμαι	ἐμαχεσάμην	μεμάχημαι
μέλει, impers., *there*	μελ-ή-σει	ἐμέλησε	μεμέληκε
is a care			
μέλομαι, *care for* (in	ἐπιμελ-ή-σομαι	ἐπεμελήθην	ἐπιμεμέλημαι
prose ἐπιμέλομαι)		P.	
μέλλω, *am about to*,	μελλ-ή-σω	ἐμέλλησα	
Imperf. ἔμελλον or			
ἤμελλον			
μένω, *remain*	μενῶ	ἔμεινα	μεμέν-η-κα
νέμω, *allot*	νεμῶ	ἔνειμα	νενέμ-η-κα
	νεμοῦμαι	ἐνειμάμην	νενέμ-η-μαι
		ἐνεμ-ή-θην	M. and P.

Present.	Future.	Aorist.
οἴομαι,‡ *think*	οἰ-ή-σομαι	ᾠήθην
οἴχομαι, *am gone*	οἰχ-ή-σομαι	
ὀφείλω, *owe*	ὀφειλ-ή-σω	ὠφείλησα
		ὤφελον §
χαίρω, *rejoice*	χαιρ-ή-σω	ἐχάρην
		P. (with act. meaning).

---

* A poet. form θέλω is also formed, but the Imperfect is always ἤθελον ; future θελήσω.

† ἔρομαι. Pres. not found, defective tenses supplied by ἐρωτάω.

‡ Gen. contr. οἶμαι, 2 Sing. always οἴει, Impf. gen. contr. ᾤμην.

§ Used in unfulfilled wishes, *would that* (lit. 'I ought to have ' . . .).

II.—Verbs which add ν to Stem in Present Tense.

1. ν only.

Present.	Future.	Aorist.	Perfect.
δάκ-ν-ω, *bite*	δήξομαι	ἔδακον ἐδήχθην P.	δέδηγμαι P.
κάμ-ν-ω, *toil*	καμοῦμαι	ἔκαμον	κέκμηκα
τέμ-ν-ω, *cut*	τεμῶ τεμοῦμαι	ἔτεμον ἐτμή-θην P.	τέτμηκα τέτμημαι P.
τί-ν-ω, *pay*	τείσω	ἔτεισα ἐτείσθην P.	τέτεικα τέτεισμαι P.
φθά-ν-ω, *anticipate*	φθήσομαι	ἔφθασα ἔφθην (p. 151)	

2. ν added and stem-vowel lengthened.

Present.	Future.	Aorist.	Perfect.
βαί-ν-ω, *go* *	βήσομαι	ἔβην (like ἔστην)	βέβηκα †
ἐλαύ-ν-ω, *drive*	ἐλῶ (like βιβῶ, p. 110)	ἤλασα ἠλάθην P.	ἐλήλακα ἐλήλαμαι P.

* Simple verb in prose only in pres. and perf.

† βαίνω is mostly used in compounds. Perf. Part. sometimes βεβώς, cf. γεγώς.

II.—Verbs which add ν to Stem in Present Tense
(*continued*).

3. νε added.

Present.	Future.	Aorist.	Perfect.
ἱκ-νέ-ομαι (οῦμαι), usually ἀφικνοῦμαι, *arrive*	ἀφίξομαι	ἀφικόμην	ἀφῖγμαι
ὑπισχ-νέ-ομαι, ὑπισ-χνοῦμαι, *promise* (cf. ἔχω, p. 150.)	ὑποσχήσομαι	ὑπεσχόμην	ὑπέσχημαι

III.—Verbs which add αν to Stem in Present Tense.

1. αν only.

(In Fut., 1 Aor., and Perf. η is added to the Stem.)

Present.	Future.	Aorist.	Perfect.
αἰσθ-άν-ομαι, *perceive*	αἰσθ-ή-σομαι	ἠσθόμην	ἤσθημαι
ἁμαρτ-άν-ω, *err*	ἁμαρτ-ή-σομαι	ἥμαρτον ἡμαρτήθην* P.	ἡμάρτηκα ἡμάρτημαι*
ἀπ-εχθ-άν-ομαι, *am hated*	ἀπεχθ-ή-σομαι	ἀπηχθόμην	ἀπήχθημαι
αὐξάνω αὔξω, *increase* (trans.)	αὐξ-ή-σω αὐξήσομαι P.	ηὔξησα ηὐξήθην P.	ηὔξηκα ηὔξημαι P.
κατα-δαρθ-άν-ω, *sleep*		κατέδαρθον	
ὀφλ-ισκ-άν-ω, *owe*	ὀφλ-ή-σω	ὤφλον	ὤφληκα

* Only in 3 pers. and part.

III.—Verbs which add αν to Stem in Present Tense (continued).

2. αν added and nasal inserted in Stem (ν before Dentals, γ before Gutturals, μ before Labials).

Present.	Future.	Aorist.	Perfect.
λαγχ-άν-ω, obtain by lot	λήξομαι	ἔλαχον ἐλήχθην P.	εἴληχα* εἴληγμαι P.
λαμβ-άν-ω, take	λήψομαι ληφθήσομαι P.	ἔλαβον ἐλαβόμην M. ἐλήφθην P.	εἴληφα* εἴλημμαι
λανθ-άν-ω, escape notice	λήσω	ἔλαθον	λέληθα
Mid. ἐπι-λανθάνομαι, forget (to let a thing escape one)	ἐπιλήσομαι	ἐπελαθόμην	ἐπιλέλησμαι
μανθ-άν-ω, learn	μαθ-ή-σομαι	ἔμαθον	μεμάθηκα
πυνθ-άν-ομαι, ascertain	πεύσομαι	ἐπυθόμην	πέπυσμαι M.
τυγχάνω, meet with, happen	τεύξομαι	ἔτυχον	τετύχ-η-κα

* Irregular reduplication in ει found in a few verbs beginning with a liquid.

IV.—Verbs which add σκ or ισκ to Stem in Present Tense.

1. Without Reduplication in Present and Imperfect.

Present.	Future.	Aorist.	Perfect.
ἀρέ-σκ-ω, please		ἤρεσα	
γηρά-σκ-ω, grow old	γηράσω γηράσομαι	ἐγήρασα	γεγήρακα

IV.—Verbs which add σκ or ισκ to Stem in Present Tense (*continued*).

Present.	Future.	Aorist.	Perfect.
διδά-σκ-ω, *teach*	διδάξω διδάξομαι	ἐδίδαξα ἐδιδαξάμην M. ἐδιδάχθην P.	δεδίδαχα δεδίδαγμαι
ἡβά-σκ-ω, *grow up* θνή-σκ-ω, *die*, in prose ἀποθνήσκω only, except in Perf., which is never compounded	ἀποθανοῦμαι	ἤβησα ἀπέθανον	ἤβηκα τέθνηκα* Fut. Perf. Act. τεθνήξω, *shall have died*, formed from Perf. stem τεθνηκ†
ἱλά-σκ-ομαι, *propitiate* μεθύ-σκ-ω, *intoxicate*	ἱλάσομαι	ἱλασάμην ἐμεθύσθην P.	
πάσχω, *suffer* ‡ χάσκω, *yawn*	πείσομαι § χανοῦμαι	ἔπαθον ἔχανον	πέπονθα κέχηνα (with present meaning)
ἁλ-ίσκ-ομαι P., *am captured*	ἁλώσομαι	ἑάλων or ἥλων	ἑάλωκα or ἥλωκα
ἀν-ᾱλ-ίσκ-ω, *spend*	ἀνᾱλώσω	ἀνήλωσα ‖ ἀνηλώθην P.	ἀνήλωκα ἀνήλωμαι P.
εὑρ-ίσκ-ω, *find*	εὑρ-ή-σω	εὗρον ¶ εὑρόμην ¶ M εὑρ-έ-θην ¶ P.	εὕρηκα ¶ εὕρημαι ¶

---

* Notice the following forms of a 2 Perf. Indic.: τέθνατον, τέθναμεν, τεθνᾶσι(ν). Pluperf. ἐτέθνασαν. Imperat. τέθναθι, τεθνάτω. Opt. τεθναίην. Infin. τεθνάναι. Part. τεθνεώς, τεθνεῶσα, τεθνεός (Gen. εῶτος, -εώσης).

† See note on p. 113.
‡ For παθ-σκ-ω.
§ For πενθ-σομαι.
‖ ᾱ sometimes remains unaugmented, as ἀνάλωσα, ἀνάλωκα, ἀνάλωμαι, ἀνᾱλώθην.
¶ Or ηὗρον, etc.

IV.—Verbs which add σκ or ισκ to Stem in Present Tense (continued).

2. With Reduplication in Present and Imperfect.

Present.	Future.	Aorist.	Perfect.
ἀπο-δι-δρά-σκ-ω, *run away*	ἀποδράσομαι	ἀπέδρᾶν *	ἀποδέδρᾱκα
βι-βρώ-σκ-ω, *eat*			βέβρωκα βέβρωμαι P.
γι-γνώ-σκ-ω, *come to know*	γνώσομαι γνωσθήσομαι P.	ἔγνων * ἐγνώσθην P. *was judged, determined*	ἔγνωκα ἔγνωσμαι P. *have been judged, determined*
ἀνα-μι-μνή-σκ-ω, *remind*	ἀνα-μνήσω	ἀν-έμνησα	
μιμνήσκομαι, *remember* M. and P.	μνησθήσομαι P. μεμνήσομαι P.	ἐμνήσθην P.	μέμνημαι† (with present meaning)
πι-πρά-σκ-ω, *sell*			πέπρακα
